# TEZAUR LITURGIC

## 20 MAI

## SF.NICHIFOR DE LA HIOS

# SLUJBA SF.CUVIOŞI NICHITA,IOSIF ŞI IOAN DE LA HIOS

HIAKON LIMONARION
ATENA,1930

www.tezaurliturgic.ro



# 20 ΜΑΪΟΥ

# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΟΣΙΩΝ ΚΑΙ ΘΕΟΦΟΡΩΝ ΠΑΤΕΡΩΝ ΗΜΩΝ ΝΙΚΗΤΑ, ΙΩΣΗΦ & ΙΩΑΝΝ ΟΥΤΩΝ ΚΤΙΤΟΡΩΝ ΝΕΑΣ ΜΟΝΗΣ ΧΙΟΥ

## Ποίημα Νικηφόρου του Χίου

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εις το Κύριε, εκέκραξα, ιστώμεν στίχους δ΄ και ψάλλομεν Στιχηρά Προσόμοια.

Ήχος α΄. Των ουρανίων ταγμάτων.

Δεύτε πιστοί συνελθόντες, ύμνοις τιμήσωμεν, τους τρεις ημών Πατέρας, τους τιμήσαντας σφόδρα, Τριάδα Παναγία παντοδαπών, αρετών επιδείξεσι, και τον ισάγγελον βίον επί της γης, και ουράνιον διήνυσαν.

Των εγκωμίων τα άνθη περιδρεψάμενοι, αειθαλείς στεφάνους, αναπλέξωμεν τούτοις, προς γαρ τους αοράτους των δυσμενών, ανδρικώς ηγωνίσαντο, και τας εκείνων κατήργησαν μηχανάς, του Σταυρού τη θεία χάριτι.

Φαεινοτάτους φωστήρας, η Χίος έγνωκε, των αρετών ταις αίγλαις, καταυγάζοντας ταύτην, υμάς θείοι Πατέρες, των ασκητών ιεόν εγκαλλώπισμα, και αρχηγούς μονοτρόπων των εν αυτή, θεοσόφους και συλλήπτορας.

Τους ακηράτους και θείους, καρπούς του Πνεύματος, επί της γης Πατέρες, ως θεόφυτα ξύλα, βλαστήσαντες αξίως εν ουρανοίς, της τρυφής απολαύετε, του γνωστικού και αφθάρτου ξύλου σεπτοί, θείας γνώσεως πληρούμενοι.

Δόξα. Ήχος πλ. α΄.

Όσιοι Πατέρες, Νικήτα, Ιωάννη, και Ιωσήφ, ο κόσμος κατά Παύλον, ουχ υμών εφάνη άξιος. Εν ερημίαις γαρ πλανώμενοι, και όρεσιν εντρεφόμενοι, σπηλαίοις τε και ταις οπαίς της γης ενοικούντες, υπερκόσμιοι γεγόνατε, και του ουρανού οικήτορες άξιοι· αιτήσατε ουν ημίν, ειρήνην παρά Θεού, και το μέγα έλεος.

Και νυν. Της εορτής.

Εις τον Στίχον, Στιχηρά Προσόμοια.

Ήχος β΄. Οίκος του Εφραθά.

Άπαντες αδελφοί, συνέλθωμεν προθύμως, την μνήμην εορτάσαι, Νικήτα, Ιωάννου, και Ιωσήφ του μάκαρος.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος των οσίων αυτού.

Χάρις προφητική τοις θείοις επεδόθη, Νικήτα, Ιωάννη, και Ιωσήφ τω θείω, του γνώναι τα εσόμενα.

Στίχ. Μακάριος ανήρ, ο φοβούμενος τον Κύριον, εν ταις εντολαίς αυτού θελήσει σφόδρα.

Εν ύψει αρετών, ήστραψαν ως αστέρες, διο και της ενθέου, ηξιώθησαν δόξης, Θεώ νυν παριστάμενοι.

Δόξα. Και νυν. Θεοτοκίον.

Πανάχραντε Αγνή, συν τοις σεπτοίς Οσίοις, ποιήσατε πρεσβείαν, προς τον εκ Σου τεχθέντα, περιφρουρείν την ποίμνην σου.

Νυν απολύεις, Τρισάγιον, το Απολυτίκιον εκ του Μεγάλου Εσπερινού και Απόλυσις.

**ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ**

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις το Κύριε, εκέκραξα, ιστώμεν στίχους στ΄ και ψάλλομεν Στιχηρά Προσόμοια.

Της εορτής β΄ και των Αγίων δ΄.

Ήχος πλ. δ΄. Τί υμάς καλέσωμεν Άγιοι;

Ποίαν υμνωδίαν προσείσωμεν, επαινούντες επαξίως τοις πατράσι τοις σεπτοίς; Ους Τριας η Παναγία, κατεστέψατο λαμπρώς, ως ταύτην εικονίζοντας τω πνεύματι, και θείοις αγωνίσμασιν εμπρέμψαντας, θείον ναόν τε εγείραντας, περικαλλή και θαυμάσιον, αιτούντας δε του σωθήναι τας ψυχάς υμών.

Όσιοι Πατέρες θεσπέσιοι, κατά χρέος ευφημούμεν, τους αγώνας τους σεπτούς, ους υπέστητε γενναίως, κατ  ἐχθρῶν των αφανών, και νίκης κατά αυτών ήρατε τρόπαια, τω όπλω του Σταυρού καθοπλισάμενοι, και προσευχών εν τοις βέλεσι, δεινώς αυτούς τραυματίσαντες, πρεσβεύσατε του σωθήναι τας ψυχάς ημών.

Τί υμάς προσείπω θαυμάσιοι; Ιωάννη θεορρήμον, και Νικήτα θαυμαστέ, Ιωσήφ ο εγκρατείας, στάθμη ένθεος οφθείς; Την χάριν γαρ Θεού ο μεν εκτήσατο, την νίκην κατ  ἐχθρών έτερος ήρατο, ο

δε το σώφρων επηύξησε, του συνωνύμου ταις χάρισιν. Αιτήσατε την ειρήνην ταις ψυχαίς ημών.

Τί υμάς καλέσωμεν Όσιοι; Αρχηγούς των μοναζόντων, των εν Χίω θαυμαστούς, η μιγάδων θείαν στάθμην, και κανόναν ιερόν; Ασκήσεως γαρ πόνοις μόνοι πρότερον, ισάγγελον εκτήσασθε πολίτευμα, είτα μονήν ανηγείρατε, της αρετής παιδευτήριον, και όφθητε, οδηγοί τε και προστάται ψυχών.

Δόξα. Ήχος πλ. β΄.

Ασκητικήν οδεύσαντες οδόν, παθών σαρκός ορμάς ενεκρώσατε, Πατέρες τρισόλβιοι. Εν γαρ δυσβάτοις όρεσι, και κρημνώδεσι φάρραγξι διαιτώμενοι, το κατ  εἰκόνα Θεού αλώβητον ετηρήσατε. Όθεν, θείαν εικόνα της Αειπαρθένου και Θεομήτορος, περιλαμπομένην φωτί, ως αστέρα φαεινόν εν τόπω αλσώδει θεωρήσαντες, ναόν εκεί περικαλλή και ωραίον, και μονήν την νέαν, βασιλικοίς αναλώμασιν ανωκοδομήσατε. Ην ταις υμετέραις ευχαίς, ασινή εις τους αιώνας φυλάττοιτε, αποσοβούντες τα θράση των βαρβάρων εχθρών, και πάσαν επήρειαν.

Και νυν. Της εορτής.

Είσοδος. Φως ιλαρόν, το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Βασιλειών Γ΄ το Ανάγνωσμα.(γ΄ 15, η΄ 50, 28-30).

Έστη Σολομών κατά πρόσωπον του θυσιαστηρίου Κυρίου, ενώπιον πάσης εκκλησίας Ισραήλ, και διεπέτασε τας χείρας αυτού εις τον ουρανόν, και είπε· Κύριε ο Θεός Ισραήλ, ουκ έστι Θεός ως συ εν

τω ουρανώ άνω, και επί της γης κάτω. Ει ο ουρανός του ουρανού ουκ αρκέσουσί σοι, πως ο οίκος ούτος, ον ωκοδόμησα εν τω ονόματί σου; Πλην και επιβλέψεις επί την δέησίν μου, Κύριε ο Θεός Ισραήλ, ακούειν της δεήσεως και της προσευχής, ης ο δούλός σου προσεύχεται ενώπιόν σου, προς σε σήμερον. Του είναι τους οφθαλμούς σου ανεωγμένους εις τον οίκον τούτον, ον είπας, έσται το όνομά σου εκεί. Του εισακούειν της προσευχής, ης προσεύχεται ο δούλός σου εις τον τόπον τούτον ημέρας και νυκτός. Και εισακούση της δεήσεως του δούλου σου, και του λαού σου Ισραήλ, α αν προσεύχωνται εις τον τόπον τούτον, και συ εισακούση, εις τον τόπον της κατοικήσεώς σου εν τω ουρανώ, και ποιήσεις και ίλεως έση αυτοίς.

Σοφίας Σολομώντος το Ανάγνωσμα.(γ΄ 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ ἡμῶν πορεία σύντριμμα· οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες, μεγάλα ευεργετηθήσονται· ότι ο Θεός επείρασεν αυτούς, και εύρεν αυτούς αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς, και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι, και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη, και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ

αὐτόν, συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ· ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα.(δ΄ 7-15).

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον, ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις· και ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού. Βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες, και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Εις την Λιτήν, Ιδιόμελα.

Ήχος α΄.

Την ιεράν της Χίου απαρχήν, και το σεπτόν προς Θεόν ακροθίνιον, ευφημήσωμεν πιστοί, την τρισάριθμον χορείαν των Οσίων, και τρίφωτον λαμπάδα, ούτοι γαρ πρώτοι των εν αυτή, πάντα καταλιπόντες τα εν γη, και Χριστώ ακολουθήσαντες, δια παντοίων πόνων της ασκήσεως, αυτώ ευηρέστησαν. Και ταις ακτίσι των θεουργών αρετών αστράψαντες, οδηγοί κοινού και

αγγελόφρονος βίου εχρημάτισαν. Και νυν εν ουρανοίς, τω θείω της Αρχιφώτου Τριάδος φωτί παριστάμενοι, πρεσβεύουσι φωτισθήναι και σωθήναι τους τιμώντας αυτούς.

Ο αυτός.

Τα της Χίου περικαλλή αναθήματα, σήμερον πιστοί αξίως υμνήσωμεν, Νικήταν τον ένδοξον, και τον θεοφόρον Ιωάννην, συν Ιωσήφ τω κλεινώ. Ούτοι γαρ οι καρτερόψυχοι, τας φάλαγγας των δαιμόνων τροπώσαντες εν γη, εν ουρανοίς επαξίως αυλίζονται, και αμέσως τη Τριάδι παριστάμενοι, πρεσβεύουσι σωθήναι τας ψυχάς ημών.

Ήχος β΄.

Επέστη ημίν ημέρα χαρμόσυνος, και εορτή πανσεβάσμιος, των θεοφόρων ημών Πατέρων. Δεύτε δη πάντες οι τούτων οπαδοί, την θήκην των ιερών αυτών λειψάνων, μετ' εὐλαβείας κυκλώσαντες είπωμεν· Πατέρες θείοι, οι τον ζυγόν του Χριστού προθύμως αράμενοι, και τας εντολάς Αυτού καλώς φυλάξαντες, και ημάς τους αθλίους, εις την αυτών ενισχύσατε τήρησιν, της ματαίας ρυόμενοι τύρβης, και γεώδους προσπαθείας. Υπό δε της τούτων ζοφωθέντες αχλύος, των προς Θεόν συνθηκών ημών επελαθόμεθα. Αλλ ὡς τω απροσίτω της θεότητος φωτί παριστάμενοι, και ταις παρ Αὐτοῦ θείαις ελλαμπόμενοι ακτίσι, φωτισμόν και ιλασμόν ημίν εξαιτήσατε, τοις την ιεράν υμών μνήμην γεραίρουσι.

Ήχος γ΄.

Τους επιγείους Αγγέλους, και ουρανίους ανθρώπους του Θεού, τους τρεις θεοφόρους ημών Πατέρας, δεύτε πάντες ευφημήσωμεν. Ούτοι γαρ οι αοίδιμοι, των ουρανίων εφιέμενοι αγαθών, των επί γης τερπνών κατεφρόνησαν. Δι ὃ και τον Σταυρόν αναλαβόντες, του Χριστού, άπαντα τον εαυτών βίον, αρετής αγωνιστήριον ανεδείξατο.Νικήτας, ο νίκην κατ ἐχθρῶν αράμενος· και Ιωάννης ο χαριτώνυμος· συν Ιωσήφ τω τρισολβίω. Ως έχοντες ουν παρρησίαν προς Χριστόν, Πατέρες ουρανόφρονες, και ημέτεροι προστάται, Αυτόν ως αγαθόν ικετεύσατε, σώσαι τας ψυχάς ημών.

Ήχος δ΄.

Σπηλαίω ενωκήσατε δια βίου, την του εν σπηλαίω τεχθέντος, μιμούμενοι πτωχείαν, αποχωρήσαντες δε τον νουν, των υλικών απάντων, δι ἐγκρατείας ψάλλοντες ψαλμωδίας τε και προσευχή, Αυτώ προσεκαρτερήσαντες. Όθεν τω πνεύματι την διάνοιαν ελλαμφθέντες, τα μέλλοντα τω Μονομάχω προειρήκατε, και την του περικλεστάτου τούτου Ναού οικοδομήν εξητήσασθε. Εν ω και ημείς συνελθόντες, εορτάζομεν πόθω την μνήμην υμών, εκτενώς δεόμενοι, ίνα πρεσβεύητε προς Κύριον, του οικτειρήσαι και σώσαι τας ψυχάς ημών.

Δόξα. Ήχος πλ. α΄.

Πανηγύρεως ημέρα των θεοφόρων ημών Πατέρων, συνευφρανθώμεν ενθέως αδελφοί, και πνευματικώς μελωδούντες, ευφημήσωμεν αυτούς. Χαίρετε λέγοντες, Οσίων εγκαλλώπισμα, οι

κατά Παύλον σκύμβαλα ηγησάμενοι πάντα, και τω Χριστώ ολοψύχως ακολουθήσαντες. Χαίρετε οι εν όρεσι και σπηλαίοις, και ταις οπαίς της γης εγκρυπτόμενοι, και μόνως μόνοι, τω Θεώ αδιαλείπτως προσευχόμενοι. Χαίρετε, οι τας ψυχάς αγνισθέντες θεοπρεπώς, και πνευματικής πλησθέντες χάριτος, εις το προφητεύειν τα μέλλοντα. Επίγειοι Άγγελοι, ουράνιοι άνθρωποι, θερμοί προστάται ημών και κηδεμόνες. Ως έχοντες παρρησίαν προς Θεόν, αιτήσατε δωρηθήναι ημίν το μέγα έλεος, τοις εκ πόθου τελούσι την μνήμην αυτών.

Και νυν. Της εορτής.

Εις τον Στίχον, Στιχηρά Προσόμοια.

Ήχος πλ. α΄. Χαίροις ασκητικών.

Δεύτε εν θείοις ύμνοις πιστοί, τους τρεις Πατέρας ευφημήσωμεν σήμερον, Νικήταν τον καθαιρέτην, του αρχεκάκου εχθρού, Ιωσήφ τον θείον και θεόφρονα, τον σάρκα τω πνεύματι, δουλωσάμενοι άριστα, και Ιωάννην τον δοχείον γενόμενοι, θείας χάριτος, και αξίως επώνυμον, κράζοντες παναοίδιμοι, Πατέρες δοξάζομεν, τους ιερούς υμών άθλους, και τους αγώνας θαυμάζομεν, ους ενθέως ζώντες, υπηνέγκατε προθύμως μακαριώτατοι.

Στίχ. Τίμιος εναντίον Κυρίου ο θάνατος των οσίων αυτού.

Χαίροις, η των Οσίων Τριας, η θεία θείων την Τριάδα λατρεύουσα, Πατέρα Υιόν και Πνεύμα, την ενιαίαν αρχήν, εν ψαλμοίς και ύμνοις και δεήσεσι, και πόνοις ασκήσεως, και αγώσι μακάριοι, σώμα νεκρούντες, και ψυχήν εκκαθαίροντες, θείοις νάμασι των

δακρύων εκάστοτε, της θείας χάριτος όντως, και οικητήριον άγιον, ης αξιωθήναι, και ημάς εκδυσωπείτε, τον πανοικτίρμονα.

Στίχ. Μακάριος ανήρ, ο φοβούμενος τον Κύριον, εν ταις εντολαίς αυτού θελήσει σφόδρα.

Χαίροις των ασκητών η Τριας, Νικήτα νίκης, ο φερώνυμος χαίρέ μοι, και χάριτος της ενθέου, ο επωνύμως κληθείς, Ιωάννη χαίρε παναοίδιμε· Παγκάλου ομώνυμε, Ιωσήφ και ομότροπε, χαίρέ σοι, άδω, σωφροσύνης το άγαλμα, η Τριας ομού, χαίροις πάσα τηρήσασα, όλως αδιαλώβητον, εικόνα του Κτίστου σου, και εφικτόν ως ην όντως, ταις αρεταίς προς ομοίωσιν, Θεού αναβάσα, ον ικέτευε σωθήναι τους ανυμνούντάς σε.

Δόξα. Ήχος πλ. δ΄.

Σολομών μεν ο θαυμάσιος, πάλαι τον Ναόν οικοδομήσας, έστη προ του θυσιαστηρίου παρά Θεού εξαιτούμενος, είναι τους οφθαλμούς Αυτού, ανεωγμένους εις Αυτόν, και εισακούειν της εν Αυτώ του λαού δεήσεως. Υμείς δε πανεύφημοι τον περίκλυτον τούτον δομησάμενοι Ναόν, υμίν τοις εν Αυτώ αναξίως προσυεχομένοις, διηνεκώς παρ  Αυτού, των αμαρτιών εξαιτείσθε την λύσιν, και τον θείον Αυτού και πλούσιον έλεος.

Και νυν. Της εορτής.

Νυν απολύεις, Τρισάγιον και το Απολυτίκιον.

Ήχος α΄. Τους τρεις μεγίστους φωστήρας.

Τους τρεις Οσίους Πατέρας, τους εν ασκήσει εκλάμψαντας, και την Χίον πάσαν, ενθέου βίου ταις ακτίσι φωτίσαντας, τους

θεοκινήτως Μονήν, τοις μονοτρόπων πλήθεσιν, ανεγείραντας αξιάγαστον, τον ένδοξον Νικήταν, και Ιωάννην τον χαριτώνυμον, συν Ιωσήφ τω γενναίω, και τον νουν θεόφρονι. Πάντες οι των τρόπων αυτών ερασταί, αθροισθέντες ύμνοις τιμήσωμεν, αυτοί γαρ τη Τριάδι, υπέρ ημών αεί πρεσβεύουσι.

Και Απόλυσις.

**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

Μετά την α΄ Στιχολογίαν, Κάθισμα.

Ήχος α΄. Τον τάφον σου Σωτήρ.

Ασκήσει την ψυχήν, καθαρθέντες ενθέως, εφάνητε λαμπροί, αρετών ταις ακτίσι, Πατέρες παναοίδιμοι, της Τριάδος ισάριθμοι, και τα μέλλοντα θεόθεν θείοι προγνόντες, εδηλώσατε τω Μονομάχω εν Λέσβω, και έργον η πρόρρησις.

Δόξα. Όμοιον.

Τριάδα την σεπτήν, των Οσίων υμνούντες, βοήσωμεν Χριστώ, πολυέλεε Σώτερ, ιλάσθητι τοις δούλοις Σου, ικεσίαις δεξάμενος των Αγίων Σου, των εν ασκήσει λαμψάντων, και υπόδειγμα, ενθέου βίου οφθέντων, εν Χίω λαμπρότατον.

Και νυν. Της εορτής.

Μετά την β΄ Στιχολογίαν, Κάθισμα.

Ήχος πλ. δ΄. Την Σοφίαν και Λόγον.

Μωϋσέως τω ζήλω, και Ηλιού και Προδρόμου μιμήσει θεία σοφοί, ερήμοις εν όρεσι, δια βίου ωκήσατε, ω Ιωάννη μάκαρ, Νικήτα

αοίδιμε, Ιωσήφ θεοφόρε, της Χίου βλαστήματα, όθεν και την χάριν, προφητείας αξίως, θεόθεν ειλήφατε, προθεσπίσαι τα μέλλοντα, Κωνσταντίνω τω Άνακτι, πρεσβεύσατε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσιν πόθω την αγίαν μνήμην υμών.

Δόξα. Ο αυτός. Το προσταχθέν μυστικώς.

Το εκ Θεού προγνωσθέν οι θεοφόροι, λαβόντες άμφω, Ιωσήφ τε και Νικήτας, προς την Λέσβον έπλευσαν, και τω Κωνσταντίνω, εδήλουν λόγοις απλάστοις, και την πολλήν, άνιαν την εν εκείνω μεταβαλείν, επειρώντο οι πάνσοφοι, την Βασιλείαν λαβείν, προλεγόντες εκ Πνεύματος, και πιστεύσαι παρέπεισαν.

Και νυν. Της εορτής.

Μετά τον Πολυέλεον, Κάθισμα.

Ήχος πλ. α΄. Τον Συνάναρχον Λόγον.

Θεοφόροι Πατέρες ως πριν ερρύσασθε, της λοιμικής ασθενείας τον προσφυγόντα υμίν, και δεόμενον θερμώς, τυχείν ιάσεως, Ιερεμίαν τον υμών, οικέτην Άγιοι πιστόν, οράματι εποφθέντες. Ούτω και νυν των κατεχόντων παθών, πρεσβεύσατε ρυσθήναι ημάς.

Δόξα. Ήχος δ΄. Επεφάνης σήμερον.

Τους την θείαν μνήμην σου, Τριας Οσίων, εν ωδαίς γεραίροντας, και ευφημούντας ασινείς, σώζε ταις θείαις πρεσβείαις σου, νόσων παντοίων, ψυχής τε και σώματος.

Και νυν. Της εορτής.

Οι Αναβαθμοί· το α΄ Αντίφωνον του δ΄ ήχου.

Προκείμενον.

Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.

Στίχ. Μακάριος ανήρ ο φοβούμενος τον Κύριον, εν ταις εντολαίς αυτού θελήσει σφόδρα.

Ευαγγέλιον. Εκ του κατά Ματθαίον (ια΄ 27-30).

Είπεν ο Κύριος τοις εαυτού μαθηταίς· Πάντα μοι παρεδόθη υπό του πατρός μου· και ουδείς επιγινώσκει τον υιόν ει μη ο πατήρ, ουδέ τον πατέρα τις επιγινώσκει ει μη ο υιός και ω εάν βούληται ο υιός αποκαλύψαι. Δεύτε προς με πάντες οι κοπιώντες και πεφορτισμένοι, καγώ αναπαύσω υμάς. Άρατε τον ζυγόν μου εφ ὑμᾶς και μάθετε απ  ἐμοῦ, ότι πράός ειμι και ταπεινός τη καρδία, και ευρήσετε ανάπαυσιν ταις ψυχαίς υμών· ο γαρ ζυγός μου χρηστός και το φορτίον μου ελαφρόν εστίν.

Ο Ν΄ Ψαλμός.

Δόξα.

Ταις του σων Οσίων, πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Και νυν.

Ταις της Θεοτόκου, πρεσβείαις, Ελεήμον, εξάλειψον τα πλήθη των εμών εγκλημάτων.

Στίχ. Ελέησόν με, ο Θεός, κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.

Ιδιόμελον. Ήχος πλ. β΄.

Ισάγγελον βιοτήν, εν γη βιώσαντες θεοφόροι, ισάγγελον εν ουρανώ παρά Θεού εκομίσασθε εύκλειαν, Ιωσήφ, Νικήτα, και Ιωάννη. Μη ουν ελλίπητε πρεσβεύοντες Αυτώ, του ελεήσαι και σώσαι τους τιμώντας υμών το μνημόσυνον.

Οι Κανόνες· πρώτον της εορτής και είτα των Αγίων οι εξής δύω.

Κανών α΄ των Αγίων.

Ωδή α΄. Ήχος δ΄. Ανοίξω το στόμα μου.

Τον νουν μου καταύγασον, Τριας Αγίας σαις λάμψεσι, και φώτισον δέομαι, του ανυμνήσαί σου, την τρισάριθμον χορείαν των Οσίων, πηγή φωτοπάροχε την σε δόξασασαν.

Πατέρες θεόφρονες, Τριάδος θείας θεράποντες, ημίν καταπέμψατε, χάριν ουράνιον, τοις γεραίρουσιν, υμών την πολιτείαν, την όντως ισάγγελον και υπέρ άνθρωπον.

Κόσμον αρνησάμενοι, και τα εν κόσμω αοίδιμοι, Σταυρόν δε αράμενοι, επί των ώμων υμών τον χρηστόν ζυγόν, Χριστού του πραοτάτου, εν ω θείαν εύρατε, ψυχής αναύπασιν.

Θεοτοκίον.

Δυνάμωσον Δέσποινα, το ασθενές της καρδίας μου, και στήριξον πάθεσι περιτρεπόμενον, όπως πίστει σε, και πόθω μακαρίζω, την αειμακάριστον και Παναμώμητον.

Έτερος Κανών ου η ακροστιχίς, κατά αλφάβητον και εν τοις Θεοτοκίοις· Νικηφόρου.

Ωδή α΄. Ήχος πλ. δ΄. Αρματηλάτην Φαραώ.

Από χειλέων εναγών πανάγιοι, ύμνον προσάδω υμίν, ο ρυπαρός όλος, ψυχή τε και σώματι, αλλ εὐμενῶς προσδέξασθε, χριστομίμητοι τούτον, και καθαρθήναι με πρέσβευε, Τριας των Οσίων προς Κύριον.

Βίον Αγγέλων αληθώς ισάγγελοι, διαβιούντες εν γη, Όσιοι Πατέρες, ασκητών το καύχημα, απάθειαν εκτήσασθε, και προς ένθεον ύψος, των αρετών ανεδράμετε, και νυν τοις Αγγέλοις ηνώθητε.

Γέγονας τύπος και κανών ασκήσεως, ω μακαρία Τριας, είτα κοινού βίου, ιερώς προέστητε, Νικήτα παμμακάριστε, Ιωάννη θεόφρον, και Ιωσήφ παναοίδιμε, λύχνοι παμφαείς διακρίσεως.

Θεοτοκίον.

Ναοί Τριάδος λογικοί γεγόνατε, θεοπρεπών αρετών, τω ενθέω κάλλλει, θείως καλλυνόμενοι, δι ὅ σου Παναμώμητε, τον περίκλυτον τούτον, Ναόν εν γη ανεγείραντο, οι σοι θεοφόροι θεράποντες.

Ωδή γ΄. Τους σους υμνολόγους.

Ποθούντες τυχείν των ουρανίων, τερπνών και αρρήτων αγαθών, σπηλαίω ενωκήσατε, μόνω Θεώ προσέχοντες, Πατέρες πανσεβάσμιοι, ων νυν τυχόντες αγάλλεσθε.

Ηλίαν ζηλούντες τον Προφήτην, και τρίβοι ταις θείαις απλανώς, του Βαπτιστού επόμενοι, Πατέρες ουρανόφρονες, τον βίον διηνύσατε, ενθέως πάντα αοίδιμοι.

Προβάτειον όρος ηγιάσθη, Οσίων τοις βήμασι τριών, εκεί δε κατεπάτησαν, την κεφαλήν του όφεως, του εν Εδέμ το πρότερον, Αδάμ και Εύαν πτερνίσαντος.

Θεοτοκίον.

Εξ ύψους του όρους καθεώρων, εν άλσει το σύνεγγυς νυκτός, φως απαστράπτον Πάναγνε, ως Μωϋσής εν όρει Σινά, ένθα εικόνα εύροσαν, σου της Θεοτόκου οι Όσιοι.

Έτερος. Ο στερεώσας κατ αρχάς.

Δαυϊτικώς τους οφθαλμούς, εις τα ουράνια όρη, της ψυχής υμών Πατέρες υψούντες, εξητείσθε εκτενώς, θεόθεν την βοήθειαν, ήσπερ επιτυχόντες, ισχύν δαιμόνων ωλέσατε.

Επί των θείων εντολών, την αρραγή Χριστού πέτραν, επεστήσατε εδραίως τους πόδας, θεοφόροι την οδόν, την κατά βίον άπασαν, απτώτως διελθόντες, εν ουρανοίς εσκηνώσατε.

Ζωήν θεόφρονες σοφώς, την κατά κόσμον μισούντες, και πτερούμενοι Χριστού τη αγάπη, ηρετίσασθε οικείν, εν ερημία Όσιοι, την μακαρίαν όντως, ζωήν ποθούντες και άληκτον.

Θεοτοκίον.

Ισχύν μοι δώρησαι Αγνή, κατά παθών ολεθρίων, και πρεσβείαις σου περίζωσον κράτος, κατ ἐχθρῶν των νοητών, και αισθητών εκλύτρωσαι, της επηρείας Κόρη, τον ισχυρόν η κυήσασα.

Κάθισμα. Ήχος πλ. δ΄. Την Σοφίαν και Λόγον.

Εν ασκήσει εκλάμψαντες νοητώς, ως τρισήλια φώτα επί της γης, θαύμασιν εκλάμπετε, τα της Χίου πληρώματα. Δι ὅ, ληστάς

βαρβάρους, αθέους αιθίοπας, τη Μονή προσελθόντας, ως ταύτην συλύσοντας, και προς Ναόν τον θείον, τον όντως πανθαύμαστον, άνω αναβάντας, και ορύζοντας σμύλη, πυρ αθρώον πέμψαντες, τούτους απετρεφώσατε, και το θαύμα κηρύττεται, έως του νυν εν τη Μονή. Η δε οπή τούτο δείκνυσιν, εν τη γη ορωμένη πανθαύμαστη. Δόξα. Και νυν. Της εορτής.

Ωδή δ΄. Την ανεξιχνίαστον.

Γνωρίσαι ποθούντες, τι άρα το φως, σπουδή θεοφόροι απήρξασθε, το άλσος καίειν, αλλά έστη θαυμαστώς, η φλοξ η υπερβάλλουσα, της μυρσίνης όλως μη ψαύσασα.

Πόρρωθεν ορώντες, το θαύμα υμείς, εκθαμβοι γεγόνατε Άγιοι, ότι της μύρτου, ου καθήψατο το πυρ, ένθεντοι προσπελάσαντες, εύρατε εικόνα την Άχραντον.

Προ της νομικής ορχούμενος Κιβωτού, πάλαι μεν Δαυίδ ο θεόληπτος, έψαλλε χαίρων, τη εικόνι δε υμείς, γονυκλιτούντες Όσιοι, λίαν ασυγκρίτως ηγάλλεσθε.

Θεοτοκίον.

Ότε την εικόνα σου είδον Αγνή, ηδονής αφθάρτου επλήσθησαν, και ευφροσύνης, οι θεράποντες οι σοι, υμνούντες και δοξάζοντες, την σην προς αυτούς θείαν πρόνοιαν.

Έτερος. Συ μου ισχύς, Κύριε.

Ησύχω νω, Όσιοι Θεώ ενούμενοι, τω αΰλως, ψυχαίς εμβατεύοντι, ταις καθαραίς, και των αρετών, κατηγλαϊσμέναις, ταις λαμπηδόσι

μακάριοι, προέγνωτε τα πόρρω, ως παρόντα βεβαίως, και εκ τούτου τοις πάσιν εγνώσθητε.

Θεός ημάς, θαύμασι δοξάσας έδειξεν, εν τω κόσμω, και σαφώς εγνώρισε, Νικήτα μάκαρ, συν Ιωσήφ, και τω Ιωάννη, και ιδιώταις και άρχουσι, προς δε και βασιλεύσιν, ως Προφήτας ενθέους, των μελλόντων, Πατέρες θεσπέσιοι.

Ιλύν παθών, πρότερο αποξηράναντες, εν ασκήσει, θείοι κακουχούμενοι, και απαθείας τω αγνισμω, όλως αγνισθέντες, και αρετών ταις ελλάμψεσι, τον νουν καταυγασθέντες, εσομένων την γνώσιν, θεοφόροι θεόθεν εδέξασθε.

Θεοτοκίον.

Κλίμαξ συ ει, Άχραντε, ην εθεάσατο, τεταμένων γήθεν προς ουράνια, ο Ιακώβ πάλαι μυστικώς, δι  ἧς ουρανόθεν, εις γην κατήλθεν ο Ύψιστος, και έσωσεν ευσπλάγχνως, των ανθρώπων το γένο, και προς ένθεον δόξαν ανήγαγεν.

Ωδή ε΄. Εξέστη τα σύμπαντα.

Ενθέως Πανάχραντε, και ευλαβώς κατέχοντες, την σην πανσεβάσμιον εικόνα, και εις το όρος αναδραμόντες σπουδή, απέθεντο εν τω εαυτώ, σπηλαίω γηθόμενοι, ώσπερ θείον κειμήλιον.

Χαράς ένεπλήσθητε, αρρήτου ω θειότατοι, Πατέρες επί τη ανευρέσει, του θείου τύπου της Θεοτόκου Αγνής, νυκτός δε απειούντος αφ  ὑμῶν, όλη μετεβάλετο, η χαρά εις κατήφειαν.

Ηρέτισας Άχραντε, τέμενος δομηθήναί σοι, ενταύθα ένθα η ση ευρέθη, εικών η θεία, δι ὃ ουχ άπαξ και δις, ω θαύμα φρικτόν αποχωρεί, του σπηλαίου θέουσα, εις την μύρτον την θάλλουσαν.

Θεοτοκίον.

Εξέστησαν ότε σου, το της μορφής εικόνισμα, Παρθένε οι Άγιοι εώρων, επί τω θάλλει τω της μυρσίνης, και πως. ως έμπνουν εχρήσατο φυγή, απορούντες έκραζον, μεγα θαύμα ο γέγονεν.

Έτερος. Ίνα τι με απώσω.

Κεκρυμμένοι σπηλαίω, κατά τοις εν τω κόσμω διάγοντες άγνωστοι, θαύμα μέγα θείοι, πως λαμπροί και επίσημοι ώφθητε. Της δε βασιλείας, τη ασφαλεί ποσαγορεύσει, βασιλεύσι και πάσι εγνώσθητε.

Λύχνοι τον Μονομάχον, προφητείας τω φέγγει καταφωτίζοντες, ώφθητε Πατέρες, προδηλούντες αδήλων την δήλωσιν, ότι πάντως έξει, παρά Θεού την Βασιλείαν, και αχλήν την της λύπης ελύσατε.

Μετ αἰδοῦς τε και πόθου, τον αυτού δακτύλιον υμίν παρέχετο, ασφαλείας χάριν, θεοφόροι Πατέρες και σύμβολον, των υπεσχημένων, ο Κωνσταντίνος ως ευγνώμων, προς υμάς ω Τριας θεοδόξαστε.

Θεοτοκίον.

Ηδονής μοι αφάτου, πρόξενος καθίσταται ο θείος οίκός σου, Άχραντε Παρθένε, ον οι θείοι Πατέρες ανήγειραν, μεγαλοπρεπείας, βασιλικής υπάρχων έργον, και χειρός φιλοτίμου κατόρθωμα.

Ωδή στ΄. Την θείαν ταύτην.

Τις αν αξίως υμνήσειε, τους πόμους ους υμείς υπεμείνατε, Πατέρες τίμιοι, όπως Ναόν τον περίκλυτον, τούτον εξεγερήτε τη Θεομήτορι.

Εκ γαρ της Χίου απάραντες, προς την πλησίον Λέσβον εδράμετε, νεύσει τη κρείττονι, ίνα σαφώς προφητεύσητε, τω Μονομάχω πάντα τα γενησόμενα.

Εν ύψει λάμποντες Άγιοι, ενθέου πολιτείας προέγνωτε, νου καθαρότητι, και προηγγείλατε χάριτι, περί αρχής των όλων και διαδήματος.

Θεοτοκίον.

Αγνή Παρθένε Θεόνυμφε, η Δέσποινα απάσης της κτίσεως, ήνπερ ηυδόκησας, Μονήν ενταύθα γενέσθαι σοι, εξ επηρείας πάσης σώζε πρεσβείαις σου.

Έτερος. Ιλάσθητί μοι Σωτήρ.

Νόμοις Χριστού ιεροίς, υπείκοντες πανσεβάσμιοι, νόμος σεπτός και κανών, και θείον υπόδειγμα, άσκήσεως ώφθητε, και μονήρους βίου, θεία όντως διατύπωσις.

Ξενώσαντες εαυτούς, των επί γης ουρανόφρονες, και τα εν βίω τερπνά, σοφώς καταλείψαντες, Θεώ ωκειώθητε, Όσιοι Πατερές, δια βίου καθαρότητα.

Οίκος τω πάντων Θεώ, και ιερόν ενδιαίτημα, κτισθέντες των αρετών, τοις λίθοις μακάριοι, Ναόν χειροποίητον, ανεγείραι θείον, τη Παρθένω ηξιώθητε.

Θεοτοκίον.

Φωνής των σων οικετών, επάκουσον Παναμώμητε, των ευλαβεία ψυχής, και πόθω βοώντων σοι, εν Ναώ της δόξης σου, προ της σης εικόνος, και παράσχου τα αιτήματα.

Κοντάκιον. Ήχος πλ. δ΄. Τη υπερμάχω.

Τους τρεις Πατέρας τους σεπτούς νυν μακαρίσωμεν, ως τα του κόσμου άπαντα καταφρονήσαντας, σπηλαίοις τε και όρεσι κατοικούντες, αλλ ὡς έχοντες την χάριν την ουράνιον, εκ του ύψους ημίν, πάσον χάριν πέμψατε· όπως κράζομεν· Χαίρετε Πατέρες τίμιοι.

Ο Οίκος.

Ως Άγγελοι επίγειοι, και άνθρωποι ουράνιοι, επί της γης οικούντες μακάριοι, εφάμιλλον αυτοίς τον βίον διηνύσατε, σκύβαλα πάντα κατά Παύλον ηγησάμενοι. Όθεν και τον ύμνον επάξιον μέλμποντες υμίν βοώμεν·Χαίρετε, δι ὧν ο Χριστός εδοξάσθη·χαίρετε, δι ὧν ο εχθρός κατησχύνθη.Χαίρετε, των μοναστών η κρηπίς, και το στήριγμα·χαίρετε, των μιγάδων, αρετής το υπόδειγμα.Χαίρετε, ότι περιβόητον Μονήν ἀνεδείμασθε εν γη·χαίρετε, ότι Ναόν περικαλλή, εκ βάθρων ηγείρατε εν αυτή.Χαίρετε, οι εν σπηλαίω δια βίου οικούντες·χαίρετε, οι μετά τέλος τοις Αγγέλοις συνόντες.Χαίρετε, οι τω Μονομάχω τα μέλλοντα εξειπόντες·χαίρετε, οι των δεομένων τας αιτήσεις πληρούντες.Χαίρετε, Πατέρες τίμιοι.

Ωδή ζ΄. Ουκ ελάτρευσαν.

Ως επέγνωτε, τον Κωνσταντίνον Όσιοι, τα σκήπτρα δέξασθαι, αυτώ ελθόντες σπουδή, τον αυτού δακτύλιον επεδεικνύετε, ος ανέμνησεν των εν τη Λέσβω πρότερον, προς υμάς επηγγελμένων.

Ευγνωμόνως, ουν Πατέρες οσιώτατοι, ευθύς απέστειλεν, οικοδομήσαι Ναόν, ως υμίν υπέσχετο περικαλλέστατον, ον ανέθετο, τη μόνη Θεομήτορι, Βασιλείου κράτους δείγμα.

Οσιώτατοι Πατέρες και θειότατοι, πόθω γεραίρομεν, πόνους υμών τους πολλούς, της θείας ασκήσεως, και τους καμάτους δε, ους υπέστητε, κατά τε γην και θάλατταν, της Μονής ένεκα ταύτης.

Θεοτοκίον.

Παναμώμητε Παρθένε καθικέτευε, ον εσωμάτωσας, φιλάνθρωπον Ιησούν, φυλάττειν την ποίμνην σου, εξ επηρείας τε, και κακώσεως, εχθρών παντοίων ίνασε, ως προστάτιδα γεραίρη.

Έτερος. Παίδες Εβραίων.

Ποίαις ασμάτων ευφημίαις, στεφανώσωμεν αξίους τους Οσίους; Τους προστάτας ημών, και θείους ευεργέτας, και πρεσβευτάς προς Κύριον, ευπροσδέκτους εις αιώνας;

Ρύσασθε ποίμνην την τιμώσαν, την πανίερον και θείαν υμών μνήμην, εξ εχθρών αισθητών, και νοητών Πατέρες, και εκ Θεού αιτήσατε την ειρήνην εις αιώνας.

Σώμα νεκρώσαντες εν κόσμω, απελάβετε ζωήν την αιώνιαν, θεοφόροι Χριστώ, συνόντες εις αιώνας, και συν Αγγέλοις ψάλλοντες: ο Θεός ευλογητίς ει.

Θεοτοκίον.

Όμματα νουν και την καρδίαν, Παναμώμητε προς σε νυν ανατείνω, πρεσβειών σου φωτί, όλον καταύγασόν με, και προς το θείον θέλημα, καθοδήγησον Παρθένε.

Ωδή η΄. Παίδας ευαγείς.

Τύποι και κανόνες εν τη Χίω, ασκήσεως πρώτοι ώφθητε σεβάσμιοι, πάντων γαρ αφέμενοι, και Χριστώ επόμενοι, αύλως βιώσαντες, πάσιν εγνώσθητε, μιγάσι τε και Μονασταίς η στάθμη, θείας πολίτειας και ούρανίου βίου.

Τριας σεβασμία των Οσίων, Τριαδα την Παναγίαν ικετεύσατε, δούναι ημίν άφεσιν, των αμαρτιών ημών, ως παρρησίαν έχοντες πολλήν πανεύφημοι, δεήσεις προς Αυτήν αναφέρει, υπέρ των τιμώντων την θείαν υμών μνήμην.

Θείον θησαυρόν θείων χαρίτων, την λάρνακα των λειψάνων υμών Άγιοι, έχοντες δοξάζομεν, τον υμάς δοξάσαντα, και πίστει ασπαζόμενοι αγιαζόμεθα. Η θεία γαρ του Πνεύματος χάρις, μένει αχωρίστως, εν τοις υμών οστέοις.

Θεοτοκίον.

Συ μου σκέπη ει και προστασία, Παρθένε Αγνή, αντίληψις και λύτρωσις, τείχος και ασφάλεια, όθεν μεγαλύνω σε, η ση Μονή κυηρύττουσα τας δυναστείας σου, προς άπαντας, ότι και νυν η Μύρτος, άφλεκτος εσώθη, ώσπερ η βάτος πάλαι.

Έτερος. Τον εν Όρει Αγίω.

Τω αστέκτω, νυν παρεστώτες θρόνω, της Τριάδος, τρισάριθμοι Πατέρες, της τριλαμπούς πληρούμενοι λαμπρότητος, χαίροντες υμνείτε, και υπερυψούτε, εις πάντας τους αιώνας.

Υπερφώτου, Τριάδος ταις ακτίσι, των Οσίων, η τριφεγγής χορεία, ελλαμπομένη συν Αγγέλων τάγμασι, θείως γηθομένη, μέλπει ασιγήτως, Αυτήν εις τους αιώνας.

Φεγγοβόλοις, αυγαίς φωτός αδύτου, της τριφώτου, και τριφεγγούς Ουσίας, Πατέρες θείοι καταγλαϊζόμενοι, άδοντες υμνείτε και υπερυψούτε Αυτήν εις τους αιώνας.

Θεοτοκίον.

Ρύσαι ποίμνην, την σοι ανακειμένην, Θεοτόκε, Πανύμνητε, Παρθένε, εκ της ορμής του νοητού με λέοντος, του ορυομένου, και καταπιείν με, ζητούντος και ολέσαι.

Ωδή θ΄. Άπας γηγενής.

Τις μη εκπλαγή, Πατέρες θειότατοι, τους υπέρ άνθρωπον, πόνους της ασκήσεως, και τους αγώνας ους διηνύσατε, νηστείαις και δεήσεσιν ενασχολούμενοι, ενοικούντες φάραγξι κρυμνώδεσι, τω δε θείω πόθω πυρούμενοι.

Δέξασθε σεπτοί, ωδήν υμνητήριον, και καταπέμψατε, τω δε εκ πονήσαντι, και τοις συμψάλλουσι χάριν άνωθεν, όπως ορθώς βιώσαντες, ζωήν αιώνιον, θεοφόροι, δι’ ικεσιών ημών, προς Χριστού του Θεού απολαύσωσι.

Δέσποτα Χριστέ, πρεσβείαις δεξάμενος, της κυησάσης σε, και των άνω τάξεων, των Αποστόλων και των Μαρτύρων σου, Ιεραρχών Οσίων τε, ημάς ελέησον και παράσχου, άφεσιν τοις δούλοις σου, των πολλών εγκλημάτων ως εύσπλαγχνος.

Θεοτοκίον.

Δέσποινα Αγνή, ως πάλαι ετήρησας, την μύρτον άφλεκτον, ούτω την Μονήν την σην, φρούρει, συντήρει και διαφύλαττε, εκ πάσης περιστάσεως, ταις σαις δεήσεσιν, ίνα υμνώμεν και πιστώς δοξάζωμεν, σε Παρθένε, ημών προστατεύουσαν.

Έτερος. Έφριξε πάσα ακοή.

Χαίρέ σοι άδω εκ ψυχής, ω τριας των ασκητών θεοσύλλεκτε, και θεοτίμητε, η την Τριάδα την ομοούσιον, έργοις ενθέοις ιερώς, βιούσα εδόξασας, και νυν απείληφας, τα βραβεία, των σων πόνων επάξια.

Ψάλλων εν Πνεύματι Δαβίδ, των Οσίων ο θειότατος θάνατος, τίμιος έναντι, έφη Κυρίου, και ο σοφώτατος, φάσκει δικαίων αι ψυχαί, χειρί ενυπάρχουσι, Θεού του σώζοντος, και ου μη αυτών καθάψηται βάσανος.

Ω σεβασμία μοι τριας, ω χορεία των Οσίων θεόλεκτε, λαμπάς η τρίφωτος, Τριάδος θείας, θείοι θεράποντες, τω εγκωμίοις ιεροίς, και ύμνοις δοξάσαντι υμάς πανεύφημοι, οφλημάτων εξαιτείτε την άφεσιν.

Θεοτοκίον.

Ουκ ηδυνήθη της φλογός, της μυρσίνης το χλοάζον λυμηνασθαι, η υπερβάλλουσα, δύναμις Κόρη, μόνη Πανάχραντε, ως ουδέ πάλαι εν Σινά, την βάτον ουκ έφλεξεν, η προετύπου σε, μυστικώς τω Μωϋσή, και εικόνιζεν.

Εξαποστειλάριον. Τοις Μαθηταίς συνέλθωμεν.

Τον δρόμον διανύσαντες, απλανώς θεοφόροι, της ιεράς ασκήσεως, προς σκηνώματα και συν πάσι, των Αγίων τοις δήμοις, ενδόξως, εσκηνώσατε, και τρυφής της αλήκτου, εν μετοχή, γενόμενοι πάντως τη ανεκφράστω, αγάλλεσθε μακάριοι, τω Θεώ παρεστώτες.

Μετά της Θεομήτορος, και Παρθένου Μαρίας, Νικήτα παμμακάριστε, και Ιωσήφ θεόφρον, συ τω κλεινώ Ιωάννη, τω Θεώ παρεστώτες, τω κόσμω τα σωτήρια, εξαιτείτε απαύστως, και τη αυτών, ποίμνη ονόνοιαν και ειρήνην, ην περιεποιήσασθε εν ατρύτοις καμάτοις.

Και το της εορτής.

Εις τους Αίνους, ιστώμεν στίχους δ΄ και ψάλλομεν Στιχηρά Προσόμοια.Ήχος πλ. δ΄. Ω του παραδόξου θαύματος.

Πάτερ Νικήτα μακάριε, συ όντως νίκη Θεού, επαξίως ωνόμασαι, ως νικήσας Όσιε, τους ασάρκους ο ένσαρκος. Τον δε Σταυρόν σου, άναλαβόμενος, τω θείω λόγω κατηκολούθησας, έχων ακλόνητον, τη ψυχήν και άκαμπτον προς πειρασμούς, τους επαγομένους σοι, εξ αοράτων εχθρών.

Ω Ιωάννη θεόσοφε, των αρετών η κρηπίς, μοναζόντων το καύχημα, της ενθέου χάριτος, επαξίως επώνυμος, ο του Προδρόμου, τοις

θείοις ίχνεσιν, ακολουθήσας και μιμησάμενος, το ορεσίτροφον, συν τοις θεοφόροις σου συνασκηταίς, μεθ ὧν νυν υμνούμενος, ημών μνημόνευε.

Νενεκρωμένον με ζώωσον, ταις των παθών προσβολαίς, τεθαμμένον ανάστησον, Ιωσήφ πανάριστε, του παγκάλλου ομώνυμε, της σωφροσύνης στάθμη η ένθεος, ο καταισχύνας, τον πολυμήχανον, όφιν τον δόλιον, και της Εύας Όσιε τον πτερνιστήν, τον εις ύψος άμετρον, κατακαυχώμενον.

Χίου, τα θεία βλαστήματα, την ιεράν προς Θεόν, απαρχήν ευφημήσωμεν, ιερώς φιλέορτοι, και σεπτόν ακροθίνιον, εν ετησίοις, ύμνοις γεραίροντες, τους τούτων άθλους και τα παλαίσματα, και την του σώματος, τήξίν τε και νέκρωσιν, δι ὧν Χριστώ, προσφοραί προσήχθησαν, λίαν ευπρόσδεκτοι.

Δόξα. Ήχος πλ. δ΄.

Των Μοναστών η πληθύς, τους καθηγητάς και αρχηγούς ημών Πατέρας, αξίως τιμήσωμεν. Ούτοι δε οι αξιοθαύμαστοι, την σεμνήν και τεθλιμμένην της ασκήσεως οδόν, ασφαλώς οδεύσαντες, ζωήν αιώνιον, και ανάπαυσιν εύρον αΐδιον, και της μακαρίας εκείνης του Κυρίου φωνής, ακούσαι κατηξιώθησαν. Ευ δούλοι αγαθοί και πιστοί, οι της ημέρας το βάρος βαστάσαντες, και το δοθέν υμίν τάλαντον αυξήσαντες, εισέλθετε εις την χαράν του Κυρίου ημών, αιωνίως αγαλλόμενοι.

Και νυν. Της εορτής.

Δοξολογία μεγάλη και Απόλυσις.

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τα Τυπικά και οι Μακαρισμοί, και εκ των Κανόνων των Οσίων η γ΄ και η στ΄ ωδή.

Απόστολον και Ευαγγέλιον του Αγίου Αντωνίου.

Απόστολος. Προς Εβραίους (ιγ΄ 17-21).(Ζήτει τη Στ΄ Δεκεμβρίου, του Αγίου Νικολάου).

Προκείμενον. Ήχος βαρύς. (Ψαλμός ριε΄).

Τίμιος εναντίον Κυρίου ο θάνατος του οσίου αυτού.

Στίχ. Τι ανταποδώσωμεν τω Κυρίω περί πάντων, ων ανταπέδωκεν ημίν;

Προς Εβραίους Επιστολής Παύλου το Ανάγνωσμα.

Αδελφοί, πείθεσθε τοις ηγουμένοις υμών και υπείκετε· αυτοί γαρ αγρυπνούσιν υπέρ των ψυχών υμών ως λόγον αποδώσοντες· ίνα μετά χαράς τούτο ποιώσι και μη στενάζοντες· αλυσιτελές γαρ υμίν τούτο. Προσεύχεσθε περί ημών· πεποίθαμεν γαρ ότι καλήν συνείδησιν έχομεν, εν πάσι καλώς θέλοντες αναστρέφεσθαι. Περισσοτέρως δε παρακαλώ τούτο ποιήσαι, ίνα τάχιον αποκατασταθώ υμίν. Ο δε Θεός της ειρήνης, ο αναγαγών εκ νεκρών «τον ποιμένα των προβάτων» τον μέγαν «εν αίματι διαθήκης αιωνίου», τον Κύριον ημών Ιησούν, καταρτίσαι υμάς εν παντί έργω αγαθώ εις το ποιήσαι το θέλημα αυτού, ποιών εν υμίν το ευάρεστον ενώπιον αυτού δια Ιησού Χριστού, ω η δόξα εις τους αιώνας των αιώνων· αμήν.

Αλληλούϊα (γ΄). Ήχος πλ. β΄. (Ψαλμός ρια΄).

Στιχ. Μακάριος ανήρ, ο φοβούμενος τον Κύριον, εν ταις εντολαίς αυτού θελήσει σφόδρα. Η δικαιοσύνη αυτού μένει εις τον αιώνα.

Ευαγγέλιον. Εκ του κατά Λουκάν (στ΄ 17-23).

Τω καιρώ εκείνω, έστη ο Ιησούς επί τόπου πεδινού, και όχλος μαθητών αυτού, και πλήθος πολύ του λαού από πάσης της Ιουδαίας και Ιερουσαλήμ και της παραλίου.Τύρου και Σιδώνος, οι ήλθον ακούσαι αυτού και ιαθήναι από των νόσων αυτών, και οι οχλούμενοι από πνευμάτων ακαθάρτων, και εθεραπεύοντο. Και πας ο όχλος εζήτει άπτεσθαι αυτού, ότι δύναμις παρ αὐτοῦ εξήρχετο και ιάτο πάντας. Και αυτός επάρας τους οφθαλμούς αυτού εις τους μαθητάς αυτού έλεγε· μακάριοι οι πτωχοί, ότι υμετέρα εστίν η βασιλεία του Θεού. Μακάριοι οι πεινώντες νυν, ότι χορτασθήσεσθε. Μακάριοι οι κλαίοντες νυν, ότι γελάσετε. Μακάριοί εστε, όταν μισήσωσιν υμάς οι άνθρωποι, και όταν αφορίσωσιν υμάς και ονειδίσωσι και εκβάλωσι το όνομα υμών ως πονηρόν ένεκα του υιού του ανθρώπου. Χάρητε εν εκείνη τη ημέρα και σκιρτήσατε· ιδού γαρ ο μισθός υμών πολύς εν τω ουρανώ.

Κοινωνικόν.

Εις μνημόσυνον αιώνιον έσται δίκαιος. Αλληλούϊα.

Μεγαλυνάρια.

Τους των μοναζόντων καθηγητάς, και των μονοτρόπων, διδασκάλους και οδηγούς, τους αναφανέντας εν Χίω θείου βίου, υπόδειγμα εν ύμνοις ανευφημήσωμεν.

Ποίμνην την τιμώσάν σε, ω τριας, των κλεινών Οσίων, διατήρησον ασινή, εκ παντοίας βλάβης, αυτή επερχομένης, ταις προς Θεόν αλήκτοις σου παρακλήσεσι.

